*Abierunt Manichaei in Armeniam ad Saracenos Theodora pro filio Michaele imperante, ob magiam, qua vexabant, sevitiam. quam rem omissam hic a Photio vide apud Cedr. p. 444.*

Τοῖς δὲ Κυνοχωρίταις ἐπιστὰς ἐνίοτε στρατηγὸς τοῦ ἀγάσματος, εἷς τῶν εἰρημένων ἀστάτων ἐφίσταται, καὶ κατασφάζει καὶ τὸν ἀρχιερέα τοῦ θεοῦ Θωμᾶν. Ἀνῄρει δὲ τοῦτον οὕτω παρανομηθέντων οἱ προειρημένοι ἄστατοι, (αὐτοὶ γὰρ ἦσαν, ὡς ἔφην, ἑκατέρας μιαιφονίας ἀρχιτέκτονες) φεύγουσι μὲν σὺν τοῖς ἑπομένοις σπουδῇ ἀπὸ πάσης γῆς, ἣν ὁ Χριστιανῶν ἐκόσμει θεσμός. Παραγίνονται δὲ ἐν Μελιτινῇ πόλει τῆς δευτέρας Ἀρμενίας, πολιτεύειν οὖσαν τότε τῶν μισοχρίστων Σαρακηνῶν. Ἧς καὶ Ἀμηρᾶς ἦρχεν, ὃν ἐκάλουν Μονοχάραν. Καὶ οὗτος ὁ μισόχριστος τοὺς μισοχρίστους φυγάδας τότε ἀλλὰ φιλοφρονησάμενος δεξιῶς, καὶ παντὸς ἐλευθερώσας ἀνθρωπίνου δέους, τὸ Ἀργοῦν πολίχνιον, οὕτω καλούμενον ἐπιχωρίῳ γλώττῃ, οἰκεῖν ἐπιτρέπει. Ἀθροίσματος δὲ ἐν οὐ πολλῷ χρόνῳ τῶν τὴν ἀποστασίαν φρονούντων συνερρυηκότος, ὡς καὶ εἰς λῃστρικὴν ἐξαρκεῖν ἐπιδρομήν τε καὶ χεῖρα, πολλὴ καὶ πολλάκις τῶν πλησιοχώρων Χριστιανῶν αἰχμαλωσία τοῖς ἀθέοις ἐπετηδεύετο. Κἀκεῖθεν κραταιούμενον τὸ κακόν, οὐ μόνον τοὺς ἀπ' ἀρχῆς θεραπευτὰς ἀδεῶς ἐδίδου τὴν ἀσέβειαν θρησκεύειν· ἀλλὰ καί τινας τῶν αἰχμαλωτιζομένων πολλὴν παρεῖχε τὴν ἐξουσίαν συναναγκάζειν εἰς τὴν αὐτὴν αὐτοῖς καταπίπτειν ἀθεότητα. Γίνεται δὲ καὶ Σέργιος, οὗ πολλάκις ἔσχε μνήμην ὁ λόγος ἐκεῖσε· καὶ χρόνον τινὰ τοῖς φυγάσι διατρίψας, καὶ βαθύνας αὐτοῖς ἐπὶ πλέον τῆς ἀσεβείας τὰ δόγματα, τὴν ἄνωθεν ὅμως δίκην οὐ διαδιδράσκει. Ξυλουργίας ἦν ὁ καρπὸς καὶ τεκτονικῆς ὁ Σέργιος οὐκ ἀμελέτητος ἦν. Καὶ δὴ καὶ συνήθης ἦν κεχρῆσθαι τῇ τέχνῃ, καὶ εἰς σανίδας ἀπο-

*lege Παραγίνεται*